**1) *Perikeiromene* 121-190** (ed. *Ménandre*. Tome II: *Le Héros. L'arbitrage, La Tondue; La «Fabula incerta» du Caire*, texte établi et traduit par A. Blanchard, Paris 2013)

(ΑΓΝΟΙΑ)

[ἐκτραφεῖν]
[τὸ μὲν] προθυμηθεῖσα θῆλυ, τὸ δ' ἕτερον
[γυναικὶ] δοῦναι πλουσίᾳ τὴν οἰκίαν
[ταύτην] κατοικούσῃ, δεομένῃ παιδίου.
[γέγον]ε δὲ τα[ῦτ'. ἐκτετ]αμένων δ' ἐτῶν τινων
[καὶ τ]οῦ πολέμου καὶ τῶν Κορινθιακῶν κακῶν
[αὐξ]ανομένων, ἡ γραῦς ἀπορουμένη σφόδρα,
τεθραμμένης τῆς παιδός, ἣν νῦν εἴδετε
ὑμεῖς, ἐραστοῦ γενομένου τε τοῦ σφοδροῦ
τούτου νεανίσκου γένει Κορινθίου
ὄντος, δίδωσι τὴν κόρην ὡς θυγατέρα
αὑτῆς ἔχειν. ἤδη δ' ἀπειρηκυῖα καὶ
προορωμένη τοῦ ζῆν καταστροφήν τινα
αὑτῇ παροῦσαν, οὐκ ἔκρυψε τὴν τύχην,
λέγει δὲ πρὸς τὴν μείραχ' ὡς ἀνείλετο
αὐτήν, ἐν οἷς τε σπαργάνοις δίδωσ' ἅμα,
τὸν ἀγνοούμενόν τ' ἀδελφὸν τῇ φύσει
φράζει, προνοουμένη τι τῶν ἀνθρωπίνων,
εἴ ποτε δεηθείη βοηθείας τινός,
ὁρῶσα τοῦτον ὄντ' ἀναγκαῖον μόνον
αὐτῇ, φυλακήν τε λαμβάνουσα μή ποτε
δι' ἐμέ τι τὴν Ἄγνοιαν αὐτοῖς συμπέσῃ
ἀκούσιον, πλουτοῦντα καὶ μεθύοντ' ἀεὶ
ὁρῶσ' ἐκεῖνον, εὐπρεπῆ [δὲ] κα[ὶ] νέαν
ταύτην, βέβαιον δ' οὐθὲν ᾧ κ[ατ]ελε[ί]πετο.
αὕτη μὲν οὖν ἀπέθανεν, ὁ δὲ τὴν οἰκίαν
ἐπρίατο ταύτην ὁ στρατιώτης οὐ πάλαι·
ἐν γειτόνων δ' οἰκοῦσα τἀδελφοῦ τὸ μὲν
πρᾶγμ' οὐ μεμήνυκ' οὐδ' ἐκεῖνον βούλεται

εἶναι δοκοῦντα λαμπρὸν εἰς μεταλλαγὴν
ἀγαγεῖν, ὄνασθαι δ' ὧν δέδωκεν ἡ τύχη.
ἀπὸ ταὐτομάτου δ' ὀφθεῖσ' ὑπ' αὐτοῦ, θρασυτέρου
ὥσπερ προείρηκ' ὄντος ἐπιμελῶς τ' ἀεὶ
φοιτῶντος ἐπὶ τὴν οἰκίαν, ἔτυχ' ἑσπέρας
π[έ]μπουσά ποι θεράπαιναν, ὡς δ' ἐπὶ ταῖς θύραις
α[ὐ]τὴν γενομένην εἶδεν, εὐθὺ προσδραμὼν
ἐφίλει, περιέβαλλ', ἡ δὲ τῷ προειδέ[ναι]
ἀδελφὸν ὄντ' οὐκ ἔφυγε· προσιὼν δ' [οὑτοσὶ]
ὁρᾷ. τὰ λοιπὰ δ' αὐτὸς ε[ἴρηχ'], ὃν τρ[όπον]
ὁ μὲν ᾤχετ', εἰπὼν ὅτι κατὰ σχολὴν ἰδ[εῖν]
αὐτήν τι βούλεθ', ἡ δ' ἐδάκρυ' ἑστῶσα καὶ
ὠδύρεθ' ὅτι ταῦτ' οὐκ ἐλευθέρως ποεῖν
ἔξεστιν αὐτῇ. πάντα δ' ἐξεκαίετο
ταῦθ' ἕνεκα τοῦ μέλλοντος, εἰς ὀργήν θ' ἵνα
οὗτος ἀφίκητ'—ἐγὼ γὰρ ἦγον οὐ φύσει
τοιοῦτον ὄντα τοῦτον—, ἀρχὴν δ' ἵνα λάβῃ
μηνύσεως τὰ λοιπά, τούς θ' αὑτῶν ποτε
εὕροιεν· ὥστ' εἰ τοῦτ' ἐδυσχέραινέ τις
ἀτιμίαν τ' ἐνόμισε, μεταθέσθω πάλιν.
διὰ γὰρ θεοῦ καὶ τὸ κακὸν εἰς ἀγαθὸν ῥέπει
γινόμενον. ἔρρωσθ' εὐμενεῖς τε γενόμενοι
ἡμῖν, θεαταί, καὶ τὰ λοιπὰ σῴζετε.

(ΣΩΣΙΑΣ)

ὁ σοβαρὸς ἡμῖν ἀρτίως καὶ πολεμικός,
ὁ τὰς γυναῖκας οὐκ ἐῶν ἔχειν τρίχας,
κλαίει κατακλινείς. κατέλιπον ποιούμενον
ἄριστον αὐτοῖς ἄρτι, καὶ συνηγμένοι
εἰς ταὐτόν εἰσιν οἱ συνήθεις, τοῦ φέρειν
αὐτὸν τὸ π[ρ]ᾶγμα ῥᾷον. οὐκ ἔχων δ' ὅπως
τἀνταῦθ' ἀκο[ύσ]ῃ γινόμεν' ἐκπέπομφέ με
ἱμάτιον οἴσοντ' ἐξεπίτηδες, οὐδὲ ἓν
δεόμενος· ἄλλ' ἢ περιπατεῖν με βούλεται;

(ΔΩΡΙΣ)

ἐγὼ προ[ελ]θοῦσ᾽ ὄψομαι, κεκτημένη.
(ΣΩ.) ἡ Δωρίς. οἵα γέγονεν, ὡς δ᾽ ἐρρωμένη.
ζῶσιν τρόπον τιν᾽, ὡς ἐμοὶ καταφαίνεται,
αὗται. πορεύσομαι δέ.
(ΔΩ.) κόψω τὴν θύραν·
οὐδεὶς γὰρ αὐτῶν ἐστιν ἔξω. δυστυχής,
ἥτις στρατιώτην ἔλαβεν ἄνδρα. παράνομοι
ἅπαντες, οὐδὲν πιστόν. ὦ κεκτημένη,
ὡς ἄδικα πάσχεις. παῖδες.
(ΣΩ.) εὐφρανθήσεται
κλαίουσαν αὐτὴν πυθόμενος νῦν· τοῦτο γὰρ
ἐβούλετ᾽ αὐτός.
(ΔΩ.) παιδίον, κέλευέ μοι

**2) *Perikeiromene* 354-396**

(ΣΩΣΙΑΣ)

πάλιν πέπομφε τὴν χλαμύδα φέροντά με
καὶ τὴν σπάθην, ἵν᾽ ἴδω τί ποιεῖ καὶ λέγω
ἐλθών. ἀκαρὲς δέω δὲ φάσκειν καταλαβεῖν
τὸν μοιχὸν [ἔ]νδον, ἵν᾽ ἀναπηδήσας τρέχῃ—
εἰ μή γε παντ[ά]πασιν αὐτὸν ἠλέουν.
κακοδαίμον᾽ οὕτω δε[σπ]ότην οὐδ᾽ ἐνύπνι[ον]
ἰδὼν γὰρ οἶδ᾽. ὢ τῆς π[ικρᾶς] ἐπιδημίας.

(ΔΑΟΣ)

ὁ ξένος ἀφῖκται. χαλεπὰ ταῦτα παντελ[ῶς]
τὰ πράγματ᾽ ἐστί, νὴ τὸν Ἀπόλλω τουτο[νί.]
καὶ τὸ κεφάλαιον οὐδέπω λογίζομαι,
τὸν δεσπότην, [ἂ]ν ἐξ ἀγροῦ θᾶττον π[άλιν]
ἔλθῃ, ταραχὴν οἵαν ποιήσει παραφ[ανείς.]
[ΣΩ]Σ ὑμεῖς δ᾽ ἀφήκαθ᾽, ἱερόσυλα θηρία,
[ἀφή]κατ᾽ ἔξω τῆς θύρ[α]ς.
(ΔΑ.) [ἀ]νασ[τρ]έφ[ει]

[ἄνθ]ρωπος ὀργιζόμ[εν]ος· [ὑπ]απο[στήσομαι.]
(ΣΩ.) ἣ δ’ οἴχεθ’ ὡς τὸν γείτον’ εὐθὺς δηλαδὴ
τὸν μοιχόν, οἰμώζειν φράσασ᾽ ἡμῖν μακρὰ
καὶ μεγάλα.
ΔΑ/ μάντιν ὁ στρατιώτης [πε]ρι[άγει]
τοῦτον· ἐπιτυγχάνει τι.
(ΣΩ.) κόψω τὴν θύραν.
(ΔΑ.) ἄνθρωπε κακόδαιμον, τί βο[ύ]λει; ποῖ φέ[ρ]ει;
(ΣΩ.) ἐντεῦθεν εἶ;
(ΔΑ.) τυχόν. ἀλλὰ τί [π]ολυπρα[γμ]ο[νεῖς;]
(ΣΩ.) ἀπονενόησθε, πρὸς θεῶν; [ἐλ]ευθέραν
ἔχειν γυναῖκα πρὸς β[ία]ν τοῦ κυρί[ου]
τολμᾶτε κατακλείσαντες;
[Δ]Α ὡς πο[νηρὸς εἶ]
καὶ συκοφάντης, ὃς το[ιαῦθ᾽ ὑπολαμβάνεις.]
(ΣΩ.) πότερα νομίζετ’ οὐκ ἔχειν ἡ[μᾶς χολὴν]
οὐδ’ ἄνδρας εἶναι;
(ΔΑ.) ναὶ μὰ Δία, τε[τρω]βό[λους.]
ὅταν δὲ τετράδραχμος τοιούτ[ους] λα[μβάνῃ,]
ἦ ῥᾳδίως μαχούμεθ’ ὑμῖν.
(ΣΩ.) [῾Ηράκλ]ε[ις,]
πράγματος [ἀ]σελγοῦ[ς. ὁ]μολ[ο]γεῖτε δ’, εἰπέ μ[οι,]
ἔ[χ]ε[ι]ν; πρ[όσ]ελθ᾽, ἄνθρ[ω]φ᾽ [ὁ π]αριών. οἴχετ[αι]
φυ[γὼ]ν ὃς ἦλ[θ]ε μάρτυ[ς. ὁμο]λογεῖτ’ ἔχειν;
(ΔΑ.) οὐκ [ἔχομεν.
(ΣΩ.) ἀλλ᾽ ἔ]στ᾽ ἐν[δον. ὄ]ψομαί τινας
ὑμῶν [στένον]τας. πρὸς τίν’ οἴεσθ’, εἰπέ μοι,
παίζειν; [τίς] ὁ λῆρος; κατὰ κράτος τὸ δυστυχ[ὲ]ς
οἰκίδιον τ[ο]ῦτ’ αὐτίκ’ ἐξαιρ[ήσ]ομεν.
ὅπλιζε τὸν μοιχόν.
(ΔΑ.) πονηρόν, ἄθλιε·
ὥσπερ παρ’ ἡμῖν οὖσαν ἐπι[μ]ένεις πάλαι.
(ΣΩ.) οἱ παῖδες οἱ τὰ πελτί’ οὗτοι πρὶν πτύσαι

διαρπάσονται πάντα, κἂν τετρωβόλους
καλῇς.
(ΔΑ.) ἔπαιζον· σκατοφάγ[ο]ς γὰρ εἶ.
(ΣΩ.) πόλιν
οἰκοῦντες—
(ΔΑ.) ἀλλ’ οὐκ ἔχομεν.
(ΣΩ.) αἰ[β]οῖ, λήψομαι
σάρισαν.
(ΔΑ.) ἄπαγ’ ἐς κόρακας· [ὡ]ς εἴσειμ’ ἐγὼ,
ἕως ἔοικας ἀ[ὐθεκάσ]τῳ.

**3)** ***Perikeiromene*** **486-516**

(ΠΑΤΑΙΚΟΣ)
εἰ μέν τι τοιοῦτ’ ἦν, Πολέμων, οἷόν φατε
ὑμεῖς τὸ γεγονός, καὶ γαμετὴν γυναῖκά σου—
(ΠΟΛΕΜΩΝ)
οἷον λέγεις, Πάταικε;
(ΠΑ.) διαφέρει δέ τι.
(ΠΟ.) ἐγὼ γαμετὴν νενόμικα ταύτην.
(ΠΑ.) μὴ βόα.
τίς δ’ ἔσθ’ ὁ δούς;
(ΠΟ.) ἐμοὶ τίς; αὐτή.
(ΠΑ.) πάνυ καλῶς.
ἤρεσκες αὐτῇ τυχὸν ἴσως, νῦν δ’ οὐκέτι·
ἀπελήλυθεν δ’ οὐ κατὰ τρόπον σου χρωμένου
αὐτῇ.
(ΠΟ.) τί φῄς; οὐ κατὰ τρόπον; τουτί με τῶν
πάντων λελύπηκας μάλιστ’ εἰπών.
(ΠΑ.) ἐρᾷς,
τοῦτ’ οἶδ’ ἀκριβῶς· ὥσθ’ ὃ μὲν νυνὶ ποιεῖς
ἀπόπληκτόν ἐστιν. ποῖ φέρει γάρ; ἢ τίνα
ἄξων; ἑαυτῆς ἐστ’ ἐκείνη κυρία.
λοιπὸν τὸ πείθειν τῷ κακῶς διακειμένῳ

ἐρῶντί τ' ἐστίν.

(ΠΟ.) ὁ δὲ διεφθαρκὼς ἐμοῦ
ἀπόντος αὐτὴν οὐκ ἀδικεῖ μ';

(ΠΑ.) ὥστ' ἐγκαλεῖν
ἀδικεῖ σ' ἐκεῖνος, ἄν ποτ' ἔλθῃς εἰς λόγους·
εἰ δ' ἐκβιάσει, δίκην ὀφλήσεις· οὐκ ἔχει
τιμωρίαν γὰρ τἀδίκημ', ἔγκλημα δέ.

(ΠΟ.) οὐδ' ἆρα νῦν;

(ΠΑ.) οὐδ' ἆρα νῦν.

(ΠΟ.) οὐκ οἶδ' ὅ τι
λέγω, μὰ τὴν Δήμητρα, πλὴν ἀπάγξομαι.
Γλυκέρα με καταλέλοιπε, καταλέλοιπέ με
Γλυκέρα, Πάταικ'. ἀλλ' εἴπερ οὕτω σοι δοκεῖ
πράττειν—συνήθης ἦσθα γὰρ καὶ πολλάκις
λελάληκας αὐτῇ πρότερον—ἐλθὼν διαλέγου,
πρέσβευσον, ἱκετεύω σε.

ΠΑΤ τοῦτό μοι δοκεῖ,
ὁρᾷς, ποιεῖν.

ΠΟΛ δύνασαι δὲ δήπουθεν λέγειν,
Πάταικε.

(ΠΑ.) μετρίως.

(ΠΟ.) ἀλλὰ μήν, Πάταικε, δεῖ.
αὕτη 'στιν ἡ σωτηρία τοῦ πράγματος.
ἐγὼ γὰρ εἴ τι πώποτ' ἠδίκηχ' ὅλως—
εἰ μὴ διατελῶ πάντα φιλοτιμούμενος—
τὸν κόσμον αὐτῆς εἰ θεωρήσαις—

**4) *Perikeiromene* 976-1020**

(ΠΟ.) ἵν' ἐμαυτὸν ἀποπνίξαιμι.

(ΔΩ.) μὴ δῆτ', [

(ΠΟ.) ἀλλὰ τί [π]οιήσω, Δωρί; πῶς βιώ[σομαι]
ὁ τρισκακοδαίμων χωρὶς ὢ[ν Γλυκέρας;

(ΔΩ.) πάλιν]

ἄπεισιν ὡς σέ.

(ΠΟ.) πρὸς θεῶν, οἶ[ον λέγεις;]

(ΔΩ.) ἐὰν προθυμηθῇς ἀκ[άκ]ως—

(ΠΟ.) [προθυμίας]

οὐκ ἐλλίποιμ’ ἂν οὐθέν. εὖ τοῦ[τ’ ἴσθι.

(ΔΩ.) δεῖ.]

(ΠΟ.) ὑπέρευ λέγεις. βάδιζ’· ἐγώ σ’ ἐλ[ευθέραν]
αὔριον ἀφήσω, Δωρί. ἀλλ’ ὃ δε[ῖ λέγειν]
ἄκουσον. εἰσελήλυθ’. οἴμοι [φιλτάτη,]
ὡς κ[α]τὰ κράτος μ’ εἴληφας. ἐ[φίλησεν τότε]
ἀδελφόν, οὐχὶ μοιχόν· ὁ δ’ ἀλάστωρ ἐγὼ
καὶ ζηλότυπος ἄνθρωπος ἀ[δικεῖσθαι δοκῶν]
εὐθὺς ἐπαρῴνουν. τοιγαροῦ[ν ἀπηγχόμην]
καλῶς ποιῶν. τί ἐστι, Δωρὶ φιλ[τάτη;]

(ΔΩ.) ἀγαθά· πορεύσεθ’ ὡς σέ.

(ΠΟ.) κατεγέλ[α δέ μοῦ;]

(ΔΩ.) μὰ τὴν Ἀφροδ[ί]την, ἀλλ’ ἐνεδύετ[ο στολήν·]
ὁ πατὴρ ἐπεσκ[εύ]αζ’. ἐχρῆν σε νῦν τα[χύ]
εὐαγγέλια τῶ[ν] γεγονότων ποθ[εινὰ γάρ,]
[θύ]ειν] ἐκ[εί]νης εὐτυχηκυίας [

(ΠΟ.) νὴ τὸν Δί’, ὀρθῶς γὰρ λέγεις. ὁ δ’ [
μάγειρος ἔνδον ἐστί· τὴν ὗν θ[υέτω.]

(ΔΩ.) κανοῦν δὲ ποῦ καὶ τἆλλ’ ἃ δεῖ;

(ΠΟ.) κα[νοῦν μὲν οὖν]
ὕστερον ἐνάρξετ’, ἀλλὰ ταύτην σφ[αττέτω.]
μᾶλλον δὲ κἀγώ. στέφανον ἀπὸ βω[μοῦ
ἀφελὼν ἐπιθέσθαι βούλομα[ι].

(ΔΩ.) πιθα[νώτερος]

πολλῷ φανεῖ γοῦν.

(ΠΟ.) ἄγετε [γ᾽ ἔ]ξ[ω Γλυκέριον.]

(ΔΩ.) καὶ μὴν ἔμελλεν ἐξιέναι δ[εῦρ᾽ ὅ τε πατήρ.]

(ΠΟ.) αὐτός· τί γὰρ πάθῃ τις;

(ΔΩ.) ὢ τά[λαιν᾽ ἐγώ·]

ἔ[φυγ]εν. κακὸν τοσο[ῦτο]ν ἢν θ[ύ]ραν [ψοφεῖν;]
εἴσειμι καὐτὴ συ[μ]ποιήσουσ’ [εἴ τι δεῖ.]
(ΠΑ.) πάνυ σοῦ φιλῶ τὸ «νῦν διαλλαχ[θήσομαι»·]
ὅτ’ εὐτύχηκας, τότε δέ[χεσθ]αι τὴν δί[κην]
τεκμήριον τοῦτ’ ἐστ[ὶν Ἕλλ]ηνος τρ[όπου.]
ἀλ[λ’ ἐκκ]αλείτω τις δ[ραμὼ]ν αὐ[τὸν ταχύ.]
[ΠΟ]ΛΕ$^{M}$ ἐ[ξέρχομ’· ἀ]λλ’ ἔθυον [ὑ]πὲρ εὐ[πραξίας.]
[Γλυκέραν γ]ὰρ εὑρηκ[υ]ῖαν οὓς [ἐβούλετο]
π[υθ]όμε[νο]ς—
ΠΑΤΑΙ$^{K}$ ὀρθῶς γὰρ λέγεις. ἃ [δ᾽ οὖν ἐγὼ]
[μ]έλλω λέγειν ἄκουε· ταύτην γν[ησίων]
παίδων επ’ ἀρότῳ σοι δίδωμι.
(ΠΟ.) λ[αμβάνω.]
(ΠΑ.) καὶ προῖκα τρία τάλαντα.
(ΠΟ.) καὶ καλῶ[ς ποεῖς.]
(ΠΑ.) τὸ λοιπὸν ἐπιλάθου στρατιώτης [ὤν, ἵνα]
προπετὲς ποιήσῃς μ[η]δὲ ἓν [
ΠΟΛ$^{E}$ Ἄπολλον, ὃς καὶ νῦν ἀπ[ό]λωλα πα[ρ’ ὀλίγον,]
πάλιν τι πράξω προπετ[έ]ς; οὐδὲ μ[έμψομαι]
Γλυκέρᾳ. διαλλάγηθι, φιλτάτη, μό[νον.]

Entweder lehrte Thetis diese Spiele, oder sie lernte sie erst.




**Antiocheia, Mosaik mit Darstellung einer Szene aus der Komödie 'Perikeiroumene' des Menander (Bild: © D. Osseman).**
Bild 2 von 2